eul_wid: obk-aa

*Ἀνδρόμαχος ὁ Κρητικός* · Andromachus the Elder Physician of Crete

# Hymn to Nero the Antidote

## *Ἀπόσπασμα*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

Κλῦθι πολυθρονίου βριαρὸν σθένος ἀντιδότοιο,
[para]Καῖσαρ, ἀδειμάντου δῶτορ ἐλευθερίης,
κλῦθι Νέρων· ἱλαρήν μιν ἐπικλείουσι Γαλήνην
[para]εὔδιον, ἣ κυανῶν οὐκ ὄθεται λιμένων,
οὐδ’ εἴ τις μήκωνος ἀπεχθέα δράγματα θλίψας
[para]χανδὸν ὑπὲρ στυγνῆς χεῖλος ἔχει κύλικος,
οὐδ’ εἰ κωνείου πλήσει γένυν· οὐκ ἀκονίτου
[para]μέμψεται, οὐ ψυχροῦ χυλὸν ὑοσκυάμου,
οὐ θερμὴν θάψον τε καὶ ὠκύμορον πόμα Μήδης,
οὐδὲ μὲν αἱμηρῶν ἕλκεα κανθαρίδων,
οὐ ζοφερῆς ἔχιός τε καὶ ἀλγεινοῖο κεράστου
[para]τύμματα, καὶ ξηρῆς διψάδος οὐκ ἀλέγοι.
σκορπίος οὐκ ἐπὶ τήνδε κορύσσεται, οὐδὲ μὲν αὐτή
[para]ἀσπὶς ἀδηρίτων ἰὸν ἔχουσα γόων.
οὐ μὲν απεχθομενος και δρυας ἀντιάσειε
[para]καὶ κατὰ φωλειὸν θερμὸς ἔνερθε μένοι·
οὐκ ἀλέγοι δρυίναο, ἀναίμακτον δ’ ἔχει ἰόν
[para]αἱμοροῒς τοίῳ δαμναμένη πόματι.
οὐ μὲν ἀπεχθήεντα φαλάγγια σίνεται οὕτως
ἀνέρα, φρικαλέον δ’ ἄχθος ἔθηκε πόνων.
οὐχ ὕδρος οὐδ’ ἐπὶ χέρσον, ὅθ’ ὕδατα καρκίνος αἴθει,
[para]βοσκόμενος, θερμῆς 〈τ’〉 ἤρξατο πρῶτον ἄλης,
χέρσυδρος θανάτῳ πεπαλαγμένα χείλεα σύρων
[para]ἀντόμενος γλυκεροῦ τέρμα φέροι βιότου.
τῇ πίσυνος λειμῶσι θέρους ἔνι τέρπεο, Καῖσαρ,

[para]καὶ Λιβυκὴν στείχων οὐκ ἀλέγοις ἄμαθον·
οὐδὲ μὲν ἀμφίσβαινα φέροι μόρον, οὐδέ τις ἤδη
[para]φρυνὸς ἐνὶ ξηροῖς βοσκόμενος πεδίοις.
ῥεῖα δὲ καὶ στομάχοιο φέροις ἄκος οἰδήναντος
καὶ θοὸν ἰήσαι’ ἄσθμα κυλινδόμενον·
ἢ ὁπόταν περὶ γαστρὶ κυκώμενον ἔνδοθι πνεῦμα
[para]κυμαίνῃ κωφὸν κῦμα βιαζόμενον·
ἢ ὅτ’ ἐνὶ στροφάλιγγι ἀπηνέι κυμήνειεν
[para]ἔντερον ἢ ταναοῦ σφυγμὸν ἔχωσι κόλου·
ἢ ὁπόταν χολόεντες ὅλον δέμας, ἔξοχα δ’ ὄσσε,
[para]καὶ μερόπων χροιὴν πάμπαν ἀνηνάμενοι
ἴκτερον ἱλάσκωνται ἀπηνέα, μηδ’ ἐπὶ θοίνην,
[para]εἰ καί σφιν μακρὸν Ζεὺς πετάσειε πέρας,
νεύοιεν, μοῦνον δὲ κατηφέα θυμὸν ἔχοντες
φεύγωσι σφετέρων ἤθεα κηδομένων.
εἰ δέ που ἢ κακοεργὸν ἴδοις ἐπὶ σώμασιν ὦχρον,
[para]ῥύσαι’ ὑδρηλὴν νοῦσον ἐπεσσυμένην,
καὶ φαέων ἀμβλεῖα ἄφαρ λάμψειεν ὀπωπή
[para]τῷ καὶ ἀρχομένης οὐκ ἀλέγοι φθίσιος.
οἵη καὶ τετάνοιο καὶ ἀρχομένοιο τενόντων
[para]σπάσματος ἦρε βυθοῦ ἄχθος ὀπισθοτόνου
ἤ τ’ ἄρα καὶ θώρηκος, ὅσην ὠτρύνατο χώρην
λοξὸς ἀναθλίβων πνεύμονα κοῦφον ὑμήν,
ἢ ὅτε φρικαλέην τις ἔχοι περὶ κύστιν ἀνίην
ἕλκεος ἢ καί που δαμναμένοιο πόρου
οὖρον ἐπιφράσσοιτο, ὅτ’ ἄσχετα πολλάκι καυλός
[para]ὁρμαίνῃ κενεὴν σεύμενος ἐς Κυθέρην.
νεφρῶν δ’ ἡνίκα φῶτα κατ’ ἰξύος ἄλγος ἐπείγοι,
[para]θαρσήσας ταύτην ἐξελάσεις ὀδύνην.
καὶ μογερῶν στέρνων ἀπολύσεται ἔμπυον ἰλύν
[para]πινομένη πολλοὺς μέχρις ἐπ’ ἠελίους.
ἀλθήσει 〈σ〉 καὶ λοιμὸν ἀηδέα πᾶσαν ἐπ’ ἠῶ
[para]δύσπνοον ἐκ τοίης παρθέμενος πόσιος,
καὶ κυνὸς ὑδροφόβην γενύων λυσσῶσαν ἐρινύν
φεύξεαι εὐόδμῳ γαῦρος ἐπ’ ἀντιδότῳ.
Τῆς δ’ ἤτοι κυάμοιο, τὸν εὔσκιον ἔτρεφεν ὕδωρ
[para]τέλμασι καὶ πολλοῖς κρυπτόμενον πετάλοις,
Νειλώου κυάμοιο δίδου βάρος ἄμμιγα χεύας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

[para]θερμὸν ὕδωρ τρισσῶν κιρνάμενος κυάθων.
πίνοιεν δ’ ὅτε κοῖτον ἄγοι κνέφας, ἄλλοτε δ’ ἠοῦς,
[para]ἄλλοτε καὶ διπλῆν ἐς πόσιν ὀρνύμενοι·
ἠοῦς μὲν κεράσαιο παρηγορέων κακοῦ ὁρμήν
[para]ὅσσοις ἀλγεινὸς λάμπεται ἠέλιος·
νυκτὶ δ’ ὁμῶς ὅσσοις περ ἐπώδυνος ἕσπεται ὄρφνη
εὐνάστειραν ἔχοις τειρομένων πρόποσιν·
ἰοβόλων δ’ εἰ καί τις ὑπὸ γναμπτῆρι δαμείη
[para]ἢ μογερὸν κυανοῦ πῶμα λάβοι θανάτου,
ἴσην ἐντύναιο κατ’ ὀρφναίην τε καὶ ἠῶ
[para]δαμναμένοις ἱλαρὴν παρθέμενος κύλικα.
καί κεν ἀυπνείοντας ἄγοις ἐπὶ κοῖτον ἑτοίμως
γηθαλέους ταύτῃ, Καῖσαρ, ἀνωδυνίῃ.
Πρῶτα μὲν ἀγρεύσαιτο κακήθεας ἐμπέραμος φώς
[para]τολμηρῇ μάρπτων χειρὶ θοοὺς ὄφιας,
τοὺς ἤδη κρυεροῦ ἀπὸ χείματος οὐκέτι γαίης
κρύπτουσι στεινοὶ πάμπαν ἔνερθε μυχοί,
εἰαρινὴν δ’ ἐφ’ ἅλωα χυτὸν βόσκονται ἀν’ ἄλσος
[para]διζόμενοι χλοεροῦ σπέρμα λαβεῖν μαράθου,
ὀξυτέρην τὸ τίθησιν ἐφ’ ἑρπηστῆρσιν ὀπωπήν
[para]πιαῖνον δειλοῖς ἄλγεα βουπελάταις.
τῶν δ’ αὐτῶν οὐράς τε καὶ ἰοβόλους ἀπὸ κόρσας
[para]τάμνοις καὶ κενεὰς γαστέρας ἐξερύοις·
οὖλα γὰρ ἀμφοτέρωθε φέρει ἐπὶ τύμμασιν ἄχθη
[para]λυγρὸν ὑπ’ οὐραίην ἰὸν ἔχων φολίδα·
τούνεκά οἱ τμήσαιο κατ’ αὐχένα ἠδὲ κατ’ ἄκρα
ὅσσον πυγμαίης χειρὸς ἔνερθε βάθος·
λοίγια δὲ σταλάουσι σὺν αἵματι, τῶν ἀπὸ πέζαν
[para]ἐκτὸς ἔχων ἱλαρὴν δέ〈ρ〉ξεαι ἀντολίην.
ὁππότε δὴ τὰ γένοιτο, τότ’ ἐν κεραμηίδι χύτρῃ
[para]κατθέμενος πυρσῷ σάρκας ἐπιφλεγέτω
ὕδατος ἐγχεύας ὅσον ἄρκιον ἠδέ τ’ ἀνήθου
[para]κλῶνας, ἐχιδναίῃ σαρκὶ συνεψόμενος·
ἡνίκα δὲ σκολιαὶ μὲν ἀπορρείωσιν ἄκανθαι
[para]καὶ κακὸν οἰδήνῃ νῶτον ὕπερθεν ἔχις,
ἐκτὸς ἕλοι ζείοντα καταψύχων κυκεῶνα,
ὄφρ’ ἑκὰς ἐντύναι σάρκας ἀπεχθομένας
ἑρπηστῶν τ’ ἰόεντας ἀπορρίψειεν ἀκάνθας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

[para]πάμπαν ὑπ’ εὐδίφου χειρὸς ἐλεγχομένας.
αὐαλέου δ’ ἐπὶ τῇσι βαλὼν εὐεργέος ἄρτου
[para]ὅσσον τερσῆναι σάρκα δύναιτο, τροχούς
πλάσσασθ’, ὁππότε μίγδα κύτει περιηγέος ὅλμου
[para]θλασθῇ, καὶ σκιεροῦ κάτθες ὑπὲρ δαπέδου.
αὐτίκα δὲ σκίλλην τριχοειδέσιν ἄμμιγα φλοιοῖς
[para]σταιτὶ περιπλάσσας θάλπε κατὰ φλογιῆς,
ὄφρα κεν ὀπταλέην τε καὶ οὐ σκληρὴν περὶ κόρσην
ἐντύναις σποδιῆς ἠρέμα δαιομένης.
καὶ ῥ’ ὅτε θαλπομένη〈ν〉 ῥήξῃ σέλας, ἔκτοθι πυρσοῦ
[para]κάτθεο καὶ τρισσὴν σαρκὸς ἕλοις μερίδα
ὁλκῆς καὶ στρυφνοῖο βάλοις δοιὼ ὀρόβοιο·
[para]εὐ δ’ ὑπέρῳ μίξας συνδονέων μυχόθεν
αἴνυσο καὶ δινήεντας ἀνάπλασσε τροχίσκους·
[para]τοὺς δ’ ἑκὰς ἠελίου ψύχεο τερσομένους.
τῶν δ’ ἤτοι δραχμὰς μὲν ὑπὸ πλάστιγγος ἀφέλκοις
[para]δοιὰς τὴν πέμπτην παρθέμενος δεκάδα,
ἥμισυ θηρείοιο βαλὼν τροχοειδέος ἄρτου,
καὶ δολιχὸν σταθμῷ τόσσον ἔχοι πέπερι·
ἶσα δ’ ὀποῦ μήκωνος ἕλοι〈σ〉 καὶ μάγματος αὔτως,
[para]μάγματος ἡδυχρόου τόσσον ἐφελκομένου.
δώδεκα δὲ ξηροῖο ῥόδου δραχμαῖσιν ἰσάζοις
[para]φύλλα καὶ ’Ιλλυρίην ἴριδα κατθέμενος
κυανέης μίξαιο μελιπτόρθου γλυκυρίζης
[para]τόσσον καὶ γλυκερῆς σπέρματα βουνιάδος,
σκόρδ〈ε〉ιον καὶ κλεινὸν ὀπὸν μίσγοιο θυώδη
[para]βαλσάμου Συρίης ἔνδοθεν αἰνύμενος·
τοῖς δ’ ἔπι καὶ κινάμωμον ἰσάζεο, μηδέ σε λήθη
ἀγαρικὸν τούτοις ἰσοβαρὲς θέμεναι.
ἢ ἔτι καὶ σμύρνης καὶ εὐόδμου κόστοιο
[para]καὶ κρόκου, ὅν τ’ ἄντρον θρέψατο Κωρύκιον,
καὶ κασίην ’Ινδήν τε βάλοις εὐώδεα νάρδον
[para]καὶ σχοῖνον νομάδων θαῦμα φέροις Ἀράβων
καὶ λιβάνου μίσγοιο καὶ ἀγλαΐην στήσαιο
[para]ἄμμιγα κυανέῳ κατθέμενος πεπέρει
δικτάμνου τε κλῶνας ἰδὲ χλοεροῦ πρασίοιο
[para]καὶ ῥῆον, στοιχὰς δ’ οὐκ ἀπάνευθε μένοι,
οὐδέ νυ πετροσέλινον ἰδ’ εὐώδης καλαμίνθη

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δριμύ τε τερμίνθου δάκρυ Λιβυστιάδος,
θερμὸν ζιγγίβερι κεΰκλωνον πενταπέτηλον·
[para]τὰς δοιὰς δραχμῶν πάντα φέροι τριάδας.
αὐτίκα καὶ πολίου πίσυρας ὁλκὰς βαρυέσσας
[para]ἠδὲ χαμαιζήλου πτόρθος ἄγοι πίτυος
καὶ στύρακος μήου τ’ ἰδὲ βοτρυόεντος ἀμώμου
[para]καὶ νάρδου, Γαλάτης ἣν ἐκόμισσεν ἀνήρ,
Λημνιάδος μίλτοιο καὶ ἐκ Πόντου παράλοιο
[para]φοῦ καὶ ἐρημαίης πρέμνα χαμαιδρυάδος,
μαλαβάθρου καλὰ φύλλα καὶ ὀπταλέην χαλκῖτιν
μίσγεσθαι ῥίζης οὐ δίχα γεντιάδος,
ἄννησον χυλόν θ’ ὑποκιστίδος ἠδέ νυ καρπόν
[para]βαλσάμου λιπαρὸν κόμμι διηνάμενος
καὶ μαράθοιο σπέρμα καὶ ’Ιδαῖον κραδάμωμον
[para]ἠδ’ ἄκορον στήσαις παρθέμενος σέσελι,
δάκρυον εὖ μίσγοιο βαλὼν κυανωπὸν ἀκάνθης
[para]θλάσπι τε σὺν τούτοις ἰσοβαρὲς τελέθοι,
τόσσον δ’ ὑπερικοῦ, τόσσον δ’ ἐπιμίσγεο ἄμμι,
[para]καὶ σαγαπηνὸν ἄγοι τετράδα τοσσατίην.
δοιὰς δ’ εἰσάξεις τά περ Ἴστριος ἔκβαλε κάστωρ
μήδεα καὶ λεπτὴν ῥίζαν ἀριστολόχου
δαυκείου τε σπέρμα καὶ αὐαλέην ἄσφαλτον
[para]ἰοβόλων κοίταις ἀντία δαιομένην,
ἶσα δ’ ὀποῦ πάνακος συμμίσγεο κενταυρείῳ
[para]χαλβανίδος λιπαρῆς ἰσόμορον θέμενος.
καὶ τὰ μὲν ἐν θυίῃ πολιῷ μαλθάσσεο οἴνῳ
[para]ὅσσα περ ὑγροτέροις δάκρυσιν ἐμφέρεται·
κόψας δ’ εὖ λείαινε, τά κεν ξυλοειδέα πάντα
[para]Ἀκταίῳ μίσγοις συγκεράσας μέλιτι.
Ἱλήκοις ὃς τήνδε μάκαρ τεκτήναο, Παιών,
εἴτε σε Τρικκαῖοι, δαῖμον, ἔχουσι λόφοι
ἢ Ῥόδος ἢ Βούρινα καὶ ἀγχιάλη ’Επίδαυρος,
[para]ἱλήκοις, ἱλαρὴν δ’ αἰὲν ἄνακτι δίδου
παῖδα τεὴν Πανάκειαν· ὁ δ’ εὐαγέεσσι θυηλαῖς
ἱλάσεται τὴν σὴν αἰὲν ἀνωδυνίην.

Eulogikon public reading copy · View original HTML at eulogikon.org